ΚΑΛΛΙΝΙΚΟΥ Γ'
ΠΑΤΡΙΑΡΧΟΥ ΚΩΝ/ΠΟΛΕΩΣ
ΕΠΙΣΤΟΛΑΙ ΚΑΙ ΑΛΛΑ ΕΓΓΡΑΦΑ

Ἐκ τῶν κωδίκων τῆς Βιβλιοθήκης Ζαγορᾶς.

Περὶ τοῦ Καλλινίκου Γ' Πατριάρχου Κ-πόλεως[1] († 1791, καὶ τῶν ἔργων αὐτοῦ μελέτην ἀξιοσπούδαστον, ἐπὶ τῇ βάσει τῶν ὑπαρχουσῶν περὶ αὐτοῦ εἰδήσεων καὶ κυρίως ἐπὶ τῇ βάσει τῶν ἐν τῇ βιβλιοθήκῃ τῆς Ζαγορᾶς ἀποκειμένων κωδίκων, ἐξέδωκεν ὁ καθηγητὴς τῆς θεολογίας ἐν τῷ Ἐθνικῷ Πανεπιστημίῳ κ. Κ. Δυοβουνιώτης. Ἐν τῷ δευτέρῳ μέρει τῆς μελέτης του ταύτης—ἀφιερωμένῳ εἰς τὰ συγγράμματα τοῦ ἀοιδίμου ἐκείνου Πατριάρχου—ὁ κ. Δυοβουνιώτης ἀναγράφων τὰ διάφορα ἔργα αὐτοῦ, ὁμιλεῖ καὶ περὶ τῶν ἐπιστολῶν αὐτοῦ, αἵτινες εἶνε ἐγκατεσπαρμέναι εἰς πλείστους κώδικας, φρονεῖ δέ, ὅτι διὰ τὴν σπουδαιότητα αὐτῶν, τόσον αἱ γεγραμμέναι εἰς πεζὸν λόγον, ὅσον καὶ αἱ εἰς ἔμμετρον, ἀξίζει νὰ μελετηθῶσιν ὄχι μόνον διότι ἐν αὐταῖς καταφαίνεται πλήρως διαφωτιζομένη ἡ προσωπικότης τοῦ ζηλωτοῦ ὑπὲρ τῆς πατρῴας εὐσεβείας Πατριάρχου ἐκείνου, ἀλλὰ καὶ διότι ζητήματα ἐκκλησιαστικὰ καὶ θεολογικὰ ἐν αὐταῖς λύονται καὶ εἰδήσεις πολλοῦ λόγου ἄξιαι περὶ γεγονότων ἱστορικῶν καὶ προσώπων καὶ πραγμάτων τῆς πολυταράχου συγχρόνου αὐτῷ ἐποχῆς περιέχονται. Διὰ τοὺς λόγους τούτους φρονεῖ ὁ αὐτὸς κ. Δυοβουνιώτης, ὅτι τινὲς ἐκ τῶν ἐπιστολῶν ὅπως καὶ ἐκ τῶν λόγων τοῦ Καλλινίκου πρέπει νὰ ἐκδοθῶσι τύποις [2].

Ἀγαθῇ τύχῃ! Ἡμεῖς ἐκδόντες ἤδη διὰ τῆς «Θεολογίας» σειρὰν ἀξίων λόγου ἐπιστολῶν καὶ ἄλλων ἐγγράφων τοῦ Πατριάρχου Καλλινίκου ἀντιγραφεισῶν παρ' ἡμῶν κατ' ἐπιλογὴν ἐκ τῶν διαφόρων κωδίκων τῆς βιβλιοθήκης Ζαγορᾶς, ὑποσχόμεθα, Θεοῦ θέλοντος, νὰ

---

1. Κ. Ι. Δυοβουνιώτου, Καλλίνικος Γ', Πατριάρχης ΚΠόλεως, Ἀθῆναι, 1918.

2. Μν. ἔργ. σελ. 53, 54.

δημοσιεύσωμεν ἐν καιρῷ καί τινας ἐκ τῶν Λόγων αὐτοῦ. Καὶ ἤδη ἀρχόμεθα ἀπὸ τῆς δημοσιεύσεως τῆς παρὰ πόδας ἐπιστολῆς.

Αὕτη, εὑρισκομένη σὺν ἄλλαις ἐν τῷ ὑπ' ἀριθμ. 91 κώδικι, κατὰ τὴν ἀρίθμησιν τοῦ ὑπὸ τοῦ κ. Δυοβουνιώτου ἐκπονηθέντος καταλόγου τῶν κωδίκων τῆς βιβλιοθήκης Ζαγορᾶς, ἀρχικῶς περιείχετο ἐν τῷ δευτέρῳ τόμῳ τῶν ἔργων τοῦ Καλλινίκου τῶν ἐν ἐξορίᾳ γραφέντων. Ἀπευθύνεται δέ, ἐκ Σινᾶ τοῦ ὄρους γραφεῖσα, ἔνθα εἶχεν ἐξορισθῇ, «Τοῖς ἐν Χριστῷ ἀδελφοῖς καὶ τοῖς κατὰ πνεῦμα υἱοῖς», πρὸς τοὺς ἐν Κωνσταντινουπόλει ὁμόφρονας, ἀρχιερεῖς καὶ διδασκάλους πιστοὺς αὐτῷ μείναντας καὶ μὴ ἀναγνωρίσαντας τὸ μετὰ τὴν ἐκθρόνισιν αὐτοῦ ὑπὸ τῶν ὀπαδῶν Κυρίλλου τοῦ Ε' δημιουργηθὲν ἐν τῷ Πατριαρχείῳ καθεστὼς διὰ τῆς εἰς τὸν Οἰκουμενικὸν Θρόνον ἀναρρήσεως τοῦ ἀπὸ Φιλιππουπόλεως Σεραφείμ. Παραμυθούμενος αὐτούς, ὀδυρομένους καὶ κλαίοντας ἐπὶ τῷ ἀπ' αὐτοῦ χωρισμῷ, προτρέπει νὰ μὴ λυπῶνται ἐπὶ τοῖς ἐπ' αὐτῷ γενομένοις, διότι «οὐδὲν καινὸν ἢ δεινὸν εἰργάσαντο οἱ διώξαντες αὐτόν», πεπεισμένος αὐτός, «ὅτι ἐξωρίσθη ὑπὲρ τῆς ἀληθείας τῆς πρὸς τὸν Θεόν, τῆς εἰς Χριστὸν εὐσεβείας καὶ τοῦ καθ' ἡμᾶς ὀρθοῦ δόγματος καὶ τῶν ἐκκλησιαστικῶν διατάξεων», προσπαθεῖ νὰ πείσῃ αὐτοὺς διὰ πλείστων ἁγιογραφικῶν χωρίων καὶ ἐκ τῶν πατερικῶν παραδειγμάτων, ὅτι αἱ ἐξορίαι, οἱ διωγμοὶ καὶ τὰ παθήματα αὐτοῦ, προελθόντα παρὰ φθονερῶν ἀνθρώπων, τῶν ὁποίων μετὰ παρρησίας ἤλεγχε πᾶσαν παρανομίαν, ἀντὶ νὰ λυπῶσιν αὐτοὺς τοὐναντίον ὅλως, ὀφείλουσι νὰ χαροποιῶσι, κατὰ τὸ Ἀπ. Ἰακώβου «πᾶσαν χαρὰν ἡγήσασθε, ἀδελφοί μου, ὅταν πειρασμοῖς περιπέσητε ποικίλοις...». Οἱ ἀπὸ μέρους τῶν ἐχθρῶν αὐτοῦ διωγμοὶ καὶ θλίψεις ὡς δοκιμασία τῆς πίστεως συντελοῦσιν εἰς τὴν ψυχικὴν σωτηρίαν· ὁ δὲ Θεὸς οὐ δίδωσι χαρίσματα ἄνευ πειρασμῶν, χωρὶς τῶν ὁποίων οὐκ ἔστι σωθῆναι. Πρέπει νὰ χαίρωσιν οἱ φίλτατοι αὐτοῦ ἐπὶ τοῖς παθήμασιν αὐτοῦ, τιμὴν καὶ δόξαν αὐτοῦ λογιζόμενοι ταῦτα, διότι «οὐδὲ στεφανουμένου τινὸς οἱ τούτῳ προσήκοντες ἀθυμοῦσιν, οὐδ' ἀπολαμβάνοντος ἀγαθὸν δυσχεραίνουσιν». Ἀλλ' ἐνῷ ἡ ἐξορία αὐτοῦ δὲν θὰ μείνῃ ἄμισθος παρὰ Θεῷ, οἱ ἀδίκως ὅμως αὐτὸν διώξαντες πάντως βαστάσουσι τὸ κρῖμα. Περὶ αὐτῶν ὅμως παρακαλεῖ τὸν Κύριον, ὅπως μὴ στήσῃ αὐτοῖς τὴν ἁμαρτίαν. Ἐάν, κατὰ τὸ ἀποστολικόν, πάντες οἱ θέλοντες ζῆν εὐσεβῶς, ἐν Χριστῷ Ἰησοῦ, διωχθήσονται, ἄπορον θὰ ἦτο ἐὰν αὐτὸς δὲν ἐδιώκετο ὑπὸ τῶν φθονε-

ρῶν ἀνθρώπων, καίτοι «εἴπερ ἤθελεν ἢ τὴν πίστιν μεταμεῖψαι καὶ τοὺς τῶν πατέρων ὅρους καὶ συνευδοκεῖν τοῖς ἀθεοφόβοις καὶ φαῦλα πράττουσι καὶ ἁρπάζουσι, ἢ κἂν γοῦν σιγᾶν τἀληθῆ μόνον, οὐκ ἂν τοῦ θρόνου καὶ τῆς πόλεως ἐδιώκετο». Ἐκ τῶν λόγων τούτων καὶ ἄλλων δείκνυται ὁ ἀδαμάντινος χαρακτὴρ τοῦ Πατριάρχου καὶ ὁ ὑπὲρ τῆς ἀληθείας καὶ εὐσεβείας ζῆλός του. Προὐτίμησε νὰ πάθῃ καὶ νὰ ταλαιπωρηθῇ, ἢ ἐκ φόβου τῶν δεινῶν νὰ σιωπήσῃ τὴν ἀλήθειαν καὶ νὰ ζῇ ἐν εὐμαρείᾳ καὶ ἀναπαύσει. Ἀλλ' ἐὰν οὐδὲν ἄλλο ἁμάρτημα εἶνε τόσον διαδεδομένον, ὡς ὁ φθόνος, καὶ ἐν οὐρανῷ καὶ ἐν παραδείσῳ καὶ ἀεὶ ἐπὶ τὰ καλὰ ὁ φθόνος, πῶς αὐτῷ μόνῳ σπεύδοντι τοὺς καλοὺς μιμήσασθαι, ἢ τὰ καλὰ κτήσασθαι, τὸν φθόνον οἷόν τε ἦν διαδράναι; Εἰ δὲ καὶ ὁ Κάϊν τὸν Ἄβελ ἐφόνευσε καὶ τὸν Πάγκαλον οἱ ἀδελφοὶ ἀπέδοντο, καὶ ἀοιδὸς ἀοιδῷ φθονεῖ καὶ τέκτονα τέκτων ζηλοτυποῖ, καινὸν οὐδέν, ἐὰν καὶ αὐτὸν τὸ χαλεπὸν θηρίον, ὁ φθόνος, ἐξέβαλε τῆς Κωνσταντίνου...

Ἐν τέλει βεβαιοῖ αὐτούς, ὅτι μέμνηται πάντων ὁμοῦ καὶ ἑνὸς ἑκάστου ἰδίᾳ καὶ ὅτι καὶ παρακλήσεις ὑπὲρ τῆς ὑγείας αὐτῶν καὶ εὐτυχίας ἐν τῇ ἐν ᾗ παροικεῖ Μονῇ ποιεῖται καὶ παραινεῖ νὰ ἐπιμελῶνται ἔργῳ τῆς ἐλεημοσύνης καὶ νὰ μνημονεύωσιν αὐτοῦ ἐν ταῖς προσευχαῖς αὐτῶν καὶ ὁμιλίαις, ἀξιοῦντες αὐτὸν γραμμάτων δηλούντων περὶ τῆς ὑγείας αὐτῶν, περὶ τῶν ἀνθρώπων αὐτοῦ καὶ τῶν ἀδελφῶν, ἐνεργείας ἅμα καταβάλλοντες ὅπως μεταμείψηται τόπον ἐξορίας καλλίτερον «πλησίον που αὐτόθι ἐν παραθαλασσίῳ πόλει, ἢ ἐν Κυζίκῳ, ἢ Προικοννήσῳ, ἢ Νικομηδείας καὶ Χαλκηδόνος ἐγγύς, ἢ ἐν τῷ ὄρει τοῦ Ἄθωνος».

Ἐκ τῶν ἐν ἀρχῇ τῆς ἐπιστολῆς ἐκφράσεων: «Προεγράψαμεν τὰ καθ' ἡμᾶς καὶ τὰς ἐπισυμβάσας ἡμῖν κακουχίας», δῆλον γίνεται, ὅτι ὁ Πατριάρχης ἔγραψε καὶ ἄλλην ἐπιστολὴν πρὸς τοὺς ἐν Κωνσταντινουπόλει, πρώτην, ἴσως, ἀπὸ Σινᾶ, πλὴν ἄγνωστος παραμένει ὁ ἀκριβὴς χρόνος τῆς συγγραφῆς αὐτῆς. Καλῶς γνωρίζομεν, ὅτι ὁ Καλλίνικος τῇ 16 Ἰανουαρίου τοῦ 1757 κοινῇ ψήφῳ προεβιβάσθη εἰς τὸν Πατριαρχικὸν Θρόνον, τῇ δὲ 24 Ἰουλίου τοῦ αὐτοῦ ἔτους ἐξώσθη τὸ μὲν πρῶτον εἰς Λῆμνον, εἶτα δ' εἰς Αἴγυπτον καὶ τέλος ὑπερωρίσθη εἰς Σινᾶ μέχρι τετραετίας. Εἰς Σινᾶ ὁ Πατριάρχης ἔφθασε, πιθανώτατα, κατὰ Ὀκτώβριον τοῦ 1757, μετὰ κοπιωδεστάτην ὁδοιπορίαν. Ἡ ἐπιστολὴ κατὰ ταῦτα ἐγράφη κατὰ τοὺς πρώτους μῆνας τῆς ἐν Σινᾶ

ὑπερορίας του, ὡς δ' ἐν αὐτῇ δηλοῦται εἶχεν ἐν τῷ μεταξὺ λάβῃ γράμματα ἐκ Κ-πόλεως, δηλωτικὰ τῆς καταστάσεως τῶν πραγμάτων καὶ τῶν π ὸς αὐτὸν θλιβερῶν διαθέσεων τῶν φίλων, ὀδυρομένων «διὰ τὴν στέρησιν καὶ τὴν ἐκ τῶν λόγων αὐτοῦ προσγινομένην ὠφέλειαν».

Α'.

Προεγράψαμεν τὰ καθ' ἡμᾶς καὶ τὰς ἐπισυμβάσας ἡμῖν κακουχίας, θλίψεις καὶ ἀσθενείας οὐχ ἵνα λυπήσωμεν ὑμᾶς, μὴ γένοιτο. Ἀλλ' ἵνα καὶ ὑμεῖς συνδοξάσητε τὸν σώσαντα καὶ παραμυθήσαντα ἡμᾶς οἰκτίρμονα Κύριον καὶ Θεὸν ἡμῶν, ὃς οὐ δίδωσι χάρισμά τι τοῖς ἀνθρώποις ἄνευ πειρασμοῦ, κατὰ γὰρ τοὺς πειρασμοὺς καὶ τὰ χαρίσματα δίδονται, ὡς ἐπίστασθε. Καὶ ἅπερ διὰ ζώσης φωνῆς πρὸς ὑμᾶς πολλάκις εἴρηται ὅτι ὑπὲρ τῆς ἀληθείας καὶ τῶν φίλων ἕτοιμοί ἐσμεν πάντα πειρασμὸν ὑπενεγκεῖν, καὶ νῦν ταὐτὰ λέγομεν καὶ χαίρομεν, εἰ τὰ βουλευόμενα, ὡς γράφετε, ὑπὸ τῶν φθονουργῶν εἰς τέλος ἔλθοι, καὶ ταῦτα διὰ γραμμάτων εὐθὺς ἀκούσαντες σύνετε, καὶ γνῶτε ὡς οὐκ ἔστι σωθῆναι χωρὶς πειρασμῶν, καὶ ὡς οὐδὲν δεινὸν ἢ καινὸν πεπόνθαμεν, ἀλλὰ τὸ καταθύμιον ἡμῖν πεπλήρωται. Καὶ λοιπὸν εἰ βούλεσθε συγχάρητέ μοι, ὅτι κἀγὼ συγχαίρω τοῖς ἀξιουμένοις μακαρισμοῦ καὶ ἀκούσατε διὰ ποίων αὐτοὶ τούτου γίνονται μέτοχοι. Αὐτίκα γοῦν ὁ ἀδελφόθεος Ἰάκωβος πᾶσι πιστοῖς παραινεῖ λέγων· «πᾶσαν χαρὰν ἡγήσασθε, ἀδελφοί μου, ὅταν πειρασμοῖς περιπέσητε ποικίλοις, γινώσκοντες ὅτι τὸ δοκίμιον ὑμῶν τῆς πίστεως κατεργάζεται ὑπομονήν, ἡ δὲ ὑπομονὴ ἔργον τέλειον ἐχέτω, ἵνα ἦτε τέλειοι καὶ ὁλόκληροι ἐν μηδενὶ λειπόμενοι». Καὶ πάλιν· «μακάριος ἄνθρωπος, ὃς ὑπομένει πειρασμόν, ὅτι δόκιμος γενόμενος λήψεται τὸν στέφανον τῆς ζωῆς, ὃν ἐπηγγείλατο ὁ Κύριος τοῖς ἀγαπῶσιν αὐτόν. Ἀνὴρ γὰρ ἀπείραστος ἀδόκιμος». Καὶ πάλιν· «ὑπόδειγμα λάβετε, ἀδελφοί, τῆς κακοπαθείας καὶ τῆς μακροθυμίας τοὺς προφήτας, οἳ ἐλάλησαν τῷ ὀνόματι Κυρίου· ἰδοὺ μακαρίζομεν τοὺς ὑπομένοντας». Συνῳδὰ τούτῳ καὶ ὁ μακάριος ὑποτίθησι Πέτρος, λέγων· «εἰ δέον ἐστί, λυπηθέντες ἐν ποικίλοις πειρασμοῖς, ἵνα τὸ δοκίμιον ὑμῶν τῆς πίστεως πολυτιμότερον χρυσίου τοῦ ἀπολλυμένου διὰ πυρὸς δὲ δοκιμαζομένου εὑρεθῇ εἰς ἔπαινον καὶ τιμὴν καὶ δόξαν ἐν ἀποκαλύψει Ἰησοῦ Χριστοῦ». Καὶ εὐθύς· «τοῦτο χάρις, ὡς διὰ συνείδησιν Θεοῦ ὑποφέρει τις λύπας, πάσχων ἀδίκως· ποῖον γὰρ κλέος, εἰ ἁμαρτάνοντες καὶ κολαφιζόμενοι ὑπομενεῖτε; τοῦτο χάρις παρὰ Θεῷ· εἰς τοῦτο γὰρ ἐκλήθητε, ὅτι καὶ Χριστὸς ἔπαθεν ὑπὲρ ἡμῶν, ὑμῖν ὑπολιμπάνων ὑπογραμμὸν ἵνα ἐπακολουθήσητε τοῖς ἴχνεσιν αὐτοῦ· ὃς ἁμαρτίαν οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη

δόλος ἐν τῷ στόματι αὐτοῦ· ὃς λοιδορούμενος οὐκ ἀντελοιδόρει, πάσχων οὐκ ἠπείλει, παρεδίδου δὲ τῷ κρίνοντι δικαίως». Σὺν τούτοις καὶ τὸ τοῦ Χριστοῦ στόμα, ὁ Παῦλος, ἐπάγει· «δικαιωθέντες ἐκ πίστεως εἰρήνην ἔχομεν πρὸς τὸν Θεόν, οὐ μόνον δέ, ἀλλὰ καὶ καυχώμεθα ἐν ταῖς θλίψεσιν, εἰδότες ὅτι ἡ θλίψις ὑπομονὴν κατεργάζεται, ἡ δὲ ὑπομονὴ δοκιμήν, ἡ δὲ δοκιμὴ ἐλπίδα, ἡ δὲ ἐλπὶς οὐ καταισχύνει». Καὶ αὖθις· «τὸ γὰρ παραυτίκα ἐλαφρὸν τῆς θλίψεως ἡμῶν αἰώνιον βάρος δόξης κατεργάζεται, οὐ γὰρ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς. Πιστὸς δὲ ὁ Θεός, ὃς οὐκ ἐάσει ὑμᾶς ὑπὲρ ὃ δύνασθε ὑμᾶς ὑπενεγκεῖν». Καὶ αὖθις· «οὔπω μέχρις αἵματος ἀντικατέστητε πρὸς τὴν ἁμαρτίαν ἀγωνιζόμενοι, καὶ ἐκλέλησθε τῆς παρακλήσεως, ἥτις ὑμῖν ὡς υἱοῖς διαλέγεται· υἱέ μου, μὴ ὀλιγώρει παιδείας Κυρίου, μηδὲ ἐκλύου ὑπ' αὐτοῦ ἐλεγχόμενος· ὃν γὰρ ἀγαπᾷ Κύριος παιδεύει, μαστιγοῖ δὲ πάντα υἱόν, ὃν παραδέχεται· εἰ παιδείαν ὑπομένετε, ὡς υἱοῖς ὑμῖν προσφέρεται ὁ Θεός· τίς γάρ ἐστιν υἱὸς ὃν οὐ παιδεύει πατήρ; εἰ δὲ χωρίς ἐστε παιδείας, ἧς μέτοχοι γεγόνασι πάντες, ἄρα νόθοι ἐστὲ καὶ οὐχ υἱοί». Ὁρᾶτε τίσι συντάττει τοὺς μὴ ἐνταῦθα παιδευομένους τὸ σκεῦος τῆς ἐκλογῆς. Καὶ μάλα εἰκότως φαίην ἂν ἔγωγε. Εἰ γὰρ δύο τινὶ παῖδές εἰσιν, ἵν' ἐπὶ παραδείγματος εἴπωμεν τὸ λεγόμενον, ὁ μὲν γνήσιος, ὁ δὲ νόθος, ἀμφότεροι δὲ ἀτακτοῖεν, ποτέρας ἄρα τῷ πατρὶ μελήσει τῆς διορθώσεως; Οὐχὶ τὸν μὲν παντοίως μετελεύσεται κἂν δέῃ μαστίγων καὶ πληγῶν μὴ τὸ παράπαν φειδόμενος, τὸν δὲ ἥττω θήσεται λόγον; Παντί που δῆλον. Οὕτως οἱ πειρασμοὶ καὶ θλίψεις πολλοῦ παρὰ τῷ Θεῷ ἠξίωνται λόγου καὶ σύντροφοι ἐξ ἀρχῆς, τῇ καθ' ἡμᾶς εὐσεβείᾳ γεγόνασιν. Ἐξ αὐτῆς γὰρ τῆς εἰς γῆν καταβολῆς τοῦ κηρύγματος κἀκεῖνοι καὶ οὗτοι συνανεφύησαν. Αὐτὸς γὰρ ὁ ἡμέτερος Σωτὴρ ἡνίκα τὸ τῆς ἡμετέρας φύσεως φύραμα εἵλετο ὑποδῦναι, οὐκ ἐξ αὐτῆς αἰτίκα τῆς εἰς τὸν βίον προόδου τοῖς πειρασμοῖς συνεπλάκη; Οὐχ ὁ τῆς Ἰουδαίας τότε κρατῶν περὶ φόνου αὐτοῦ καθωπλίζετο; Οὐκ εἰς Αἴγυπτον μετὰ τῆς μητρὸς ἐδραπέτευσεν; Οὐκ ἐξ Αἰγύπτου πάλιν εἰς τὴν Ἰουδαίαν, κἀκεῖθεν εἰς Ναζαρὲτ τοὺς φονῶντας ἀποδεδήμηκε; Ἆρα δὲ τῶν πειρασμῶν οὕτω κατ' ἐκείνου πνεόντων, ἐκεῖνος πρὸς ἄνεσιν ὅλως ἢ περιφάνειαν ἑώρα τὴν ἔξωθεν; Οὐδαμῶς. Ἀλλ' ἐξ αὐτοῦ τούτου μέχρι τῆς τελευτῆς τοῦ κατ' ἄνθρωπον βίου πενίᾳ καὶ λιτότητι χαίροντα μετὰ πολλῆς εὑρίσκομεν τῆς περινοίας. Τί γὰρ σπηλαίου ταπεινότερον; τί δὲ τοῦ μὴ ποῦ κλῖναι ἔχειν τὴν κεφαλὴν εἰς λόγον πενίας ὑπέρτερον; Καὶ τὸ τέλος δὲ τῆς ἐνταῦθα ζωῆς, ὁποῖον; Ὢ λίαν περιώδυνον καὶ ἀτιμίας μεστόν. Ἐπὶ διαβολῇ γὰρ ἀνταρσίας ὁ τοῦ Θεοῦ υἱὸς τὸ θνήσκειν κατεψηφίζετο καὶ τέλος μετὰ τὰς ἀρρήτους ὕβρεις ἐκείνας, τὴν πορφυρᾶν χλαῖναν, τοὺς

χλευασμούς, τοὺς ἐμπτυσμούς, τοὺς κολαφισμούς, τὰ ῥαπίσματα, τὰς μάστιγας, τῷ σταυρῷ γυμνὸς κακούργου δίκην καταδικασθεὶς προσηλοῦτο. Καὶ οὐχ ἡμῖν κατὰ τὸ ἀνθρώπινον ἡ ζωὴ τῷ Σωτῆρι οὕτω διήνυσται, ἑτέρως δὲ εἶχον οἱ λόγοι, ἀλλ' ἐν πᾶσιν οἷς τὰ πρακτέα διδάσκειν ἐβούλετο, οὐδὲν ἕτερον ὅτι μὴ τὸ ἑαυτῶν εἰσιδεῖν ἐν ταῖς θλίψεσιν ὁρῶμεν διδάσκοντα. Ποτὲ μὲν λέγοντα, ὅτι στενὴ ἡ πύλη καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωήν. Καὶ ἐν τῷ κόσμῳ ὄντες θλίψιν ἕξετε, καὶ κλαύσετε καὶ θρηνήσετε ὑμεῖς, ὁ δὲ κόσμος χαρήσεται, ποτὲ δέ, παραινοῦντα· ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσεσθε τὰς ψυχὰς ὑμῶν· καὶ ὁ ὑπομείνας εἰς τέλος οὗτος σωθήσεται. Καὶ οὐχὶ τοὺς πλούτῳ βρίθοντας καὶ χαίροντας, καὶ τῇ τρυφῇ προσκειμένοις, ἀλλὰ τοὺς πτωχοὺς τῷ πνεύματι, τοὺς κλαίοντας, τοὺς μισουμένους, τοὺς ὑβριζομένους, τοὺς διωκομένους τούτους μακαρίους καὶ ζηλωτὰς ἀποφαίνεται καὶ τῆς εἰς τὰ δεινὰ καρτερίας ἔπαθλον τὴν ἐν οὐρανοῖς βασιλείαν χαρίζεται. Τούτου ἄρα κατ' ἴχνος οἱ θεῖοι Ἀπόστολοι καὶ μετὰ τοὺς Ἀποστόλους οἱ μάρτυρες πορευόμενοι, τοὺς μυρίους ἐκείνους ἄθλους διήνεγκαν, καθ' ἑκάστην ἐλαυνόμενοι τὴν ἡμέραν, εἰς διάφορα κατακλειόμενοι δεσμωτήρια, μαστιζόμενοι, ὑβριζόμενοι, προσπαλαίοντες κρύει καὶ λιμῷ καὶ δίψῃ συνεχῶς πιεζόμενοι, καὶ πολυτρόποις θανάτου ἀπαγωγαῖς ἀπαλλαττόμενοι καὶ τοῦ ζῆν, καὶ ταῦτα ἐν ἀρχαῖς τοῦ κηρύγματος, ὅτε μάλιστα ἡμῖν ἔδει τῆς ἐκείνων ζωῆς καὶ τῆς ἄνωθεν αὐτοὺς ἐχρῆν ἀπολαύειν ῥοπῆς, ὥστε μὴ τὴν τοῦ κηρύγματος ἐπίδοσιν εἴργεσθαι, ἀλλ' ὅμως οὐκ ἐνῆν ἄλλως αὐτοῖς μιμήσασθαι τὸν διδάσκαλον. Τούτων καὶ ὁ τῶν ἀσκητῶν θεῖος ὅμιλος τοὺς μαρτυρικοὺς ἄθλους ζηλώσας τὸ κατὰ προαίρεσιν καὶ οὗτος μαρτύριον ἤνεγκε, ταῦθ' ἑκουσίως ὑπερχόμενοι πάντα, ἅπερ ἐκείνοις ἀκουσίως συνέπιπτεν. Ἐπεὶ γὰρ μὴ ἐνῆν ὑφ' ὁτουοῦν τῶν διωκτῶν τηνικαῦτα βασάνοις ἐκδίδοσθαι, αὐτουργοὶ γὰρ οἷον εἰπεῖν αὐτοὶ ἑαυτοῖς τῶν βασάνων γενόμενοι, ταῖς τῆς ἀσκήσεως μάστιξι τὰ σώματα κατατείνοντες καὶ τῇ ἀπονεκρώσει τῆς σαρκὸς τρόπον ἕτερον ἑαυτοὺς θανατοῦντες, τὸν τῆς ζωῆς αὐτῶν ἅπαντα διετέλεσαν χρόνον.

Συνήκατε τίνι τρόπῳ καὶ πόθεν ἡ σωτηρία τοῖς αἱρουμένοις προσγίνεται, ὥστε μᾶλλον κεχαρισμένοι Χριστῷ οἱ πειρασμοῖς καὶ θλίψεσι προσπαλαίοντες, ὧν τῆς μερίδος γενοίμην πρὸς τῆς ἄνωθεν ῥοπῆς βοηθούμενος. Αὕτη γὰρ ἡ τεθλιμμένη τρίβος ἡ πρὸς ζωὴν τοὺς ταύτην ὁδεύοντας ἄγουσα· ἐπεὶ ἄνευ ἀθλήσεως οὐδεὶς ἀξιοῦται στεφάνων. Ἀλλὰ τί ταῦτα, ἴσως φήσειεν ἄν τις, πρὸς σέ; Οὐ γὰρ ὑπὲρ Χριστοῦ καὶ σοὶ τὸ παθεῖν ὡς ἐκείνοις. Μάλιστα μέν, οὐδὲ τῆς τοιαύτης ἔρημος ἐλπίδος ἐγώ, λέγω δὲ τὸ παθεῖν πολλὰ ὑπὲρ τοῦ Χριστοῦ· ὑπὲρ γὰρ τῆς εἰς Χριστὸν εὐσεβείας καὶ τοῦ καθ' ἡμᾶς ὀρθοῦ δόγματος καὶ τῶν

τῆς Ἐκκλησίας διατάξεων ἐξ ἁπαλῶν ὀνύχων ἄχρι καὶ τήμερον λογισμοῖς προσπαλαίω· ἡδονὰς παραιτοῦμαι, ἀνθίσταμαι πάθεσι καὶ δαίμοσι μάχομαι· καὶ χωρὶς τῶν παρεκτός, παρὰ πάντων μὲν τῶν ἀσεβῶν, ὡς δυσσεβής, παρ' ἐνίων δὲ ὁμοπίστων, τῶν βαναύσων δηλαδὴ καὶ βαρβάρων ὡς βδελυκτὸς μισοῦμαι καὶ ἀποτρόπαιος. Δῆλον δὲ κἀκεῖθεν ὡς οὐκ ἄμισθος ἡ ἐμὴ ἐξορία παρὰ Θεῷ. Ἐνὸν γὰρ ἀτάραχος μένειν εἰ σιγώην μόνον τὸ ἀληθές, καὶ πάσης παρὰ πάντων τιμῆς ἀπολαύειν, τούτων μὲν ὡς οὐδαμηνῶν ὑπερφρονήσας, ἐρρέτω λέγω πᾶσα ἀνθρωπίνη τιμὴ καὶ δόξα, ἡ τῆς σωτηρίου ἐλπίδος ἀπογυμνοῖ. Ἐμοὶ καὶ τιμὴ καὶ δόξα τὸ διὰ Χριστὸν καὶ τοὺς ἐκεῖθεν νόμους μισεῖσθαι καὶ ἐλαύνεσθαι καὶ μυρίαν ὑπομένειν τὴν δυσπραγίαν, κἂν καὶ αὐτὴν οἰκτρότατα τὴν ζωὴν ἀφαιρῶμαι, ὅτε καὶ τῷ ὄντι μακάριος ἔσομαι. Ἑλόμενος δὲ ὕβριν καὶ ἐξορίαν καὶ θάνατον, πῶς ἄμισθος ἔσται ἡ πρόθεσίς μοι καὶ ἡ τοσαύτη ὑπομονή; οὕτω γὰρ ἂν καὶ πάντας ἁγίους ἀποστερήσαιμεν τῶν ἀκηράτων ἐκείνων μισθῶν, ὡς ἀνταλλαξαμένους τὸ ὑπὲρ τῆς ἀληθείας καὶ μάχεσθαι καὶ θανεῖν ζωῆς, καὶ εἰρήνης καὶ πάσης ἀνέσεως, ὑπὲρ τοῦ μὴ σιγᾶν τὴν ἀλήθειαν μόνου. Χρυσόστομος καὶ Γρηγόριος, Ἀθανάσιος ὁ πολύτλας, Παῦλος ὁ Ὁμολογητὴς καὶ Μαρτῖνος οἱ θεῖοι, μακράν που τῶν οἰκείων ἠλάθησαν θρόνων. Μάξιμος ἀφῃρέθη τὴν φιλόσοφον γλῶσσαν, ὁ Δαμασκηνὸς τὴν δεξιὰν ἀπεκόπη καὶ πρὸ τούτων ὁ Πρόδρομος ἀπετμήθη τὴν κεφαλήν· καὶ πᾶς ὁ τῶν ἁγίων χορὸς ἅπαν ὑπέστη δεινόν. Ὅτι δὲ καὶ αὐτὸς εἴπερ ἤθελον ἢ τὴν πίστιν μεταμεῖψαι καὶ τοὺς τῶν πατέρων ὅρους, καὶ συνευδοκεῖν τοῖς ἀθεοφόβοις καὶ φαῦλα πράττουσι καὶ ἁρπάζουσιν,... ἢ κἂν γοῦν σιγᾶν τἀληθῆ μόνον, οὐκ ἂν τοῦ θρόνου καὶ τῆς πόλεως ἐδιωκόμην, καὶ τυφλῷ δῆλον. Ἀλλὰ μή μοι γένοιτό ποτε τοαύτῃ ἀνοίᾳ περιπεσεῖν, κἂν μυριάκις δέῃ με τὴν ζωὴν ἀπορρῆξαι, ὥστε φόβῳ δεινῶν, ἢ κολακείᾳ ἡδέων σιγᾶν τὴν τοῦ Χριστοῦ μου ἀλήθειαν. Κρεῖττον γὰρ ἀνατεῖλαι τὸν ἥλιον καὶ τοὺς ἀμβλυωποῦντας λυπεῖσθαι, ἢ καθολικὴν σκοτίαν εἶναι καὶ τὰ καλὰ τῶν κακῶν ἀδιάκριτα. Ἢ καὶ τὴν τῆς πίστεως σιγητέον ὁμολογίαν αἰδοῖ τῶν ἀπίστων, ὃ καὶ τῆς φόβῳ θανάτου ἀπάγξασθαι παροιμίας ἔργῳ ἀνοητότερον. Ἄπαγε. Τοιαύταις γὰρ σοφῶν ὑποθήκαις στοιχοῦμεν ἡμεῖς. Ἐὰν διδάσκοντός σου τὸν λόγον τῆς ἀρετῆς, φησί, διεγείρῃ τινὰς ὁ μισόκαλος πρὸς τὸ θλίβειν σε, μὴ δειλιάσῃς, μηδὲ δι' ἀνθρώπινον φόβον σιγᾷς τὴν ἀλήθειαν. Φοβερὸν γὰρ τοῦτο. Ἀλλὰ τὸ ἐμπεσεῖν εἰς χεῖρας Θεοῦ ζῶντος φοβερώτερον· τὸ δὲ σιγᾶν τὴν ἀλήθειαν χρυσόν ἐστι θάπτειν. Οἱ ἐνιστάμενοι προϊόντι σοι κατὰ τὸν ὀρθὸν λόγον, ὥσπερ ἀπὸ τῆς ὑγιοῦς πράξεως ἀποτρίψαι σε οὐ δυνήσονται, οὕτως οὐδὲ τῆς πρὸς αὐτοὺς ἐκκρουέτωσαν, ἀλλὰ φύλαττε σεαυτὸν ἐπ' ἀμφοτέρων ὁμοίως, μὴ μόνον ἐπὶ τῆς εὐσταθοῦς κρίσεως καὶ πράξεως, ἀλλὰ καὶ ἐπὶ τῆς πρὸς

τοὺς κωλύειν ἐπιχειροῦντας ἢ ἄλλως δυσχεραίνοντας, πραότητος καὶ στοργῆς. Καὶ γὰρ τοῦτο ἀσθενείας τὸ χαλεπαίνειν αὐτοῖς ὥσπερ τὸ ἀποστῆναι τῆς πράξεως καὶ ἐνδοῦναι καταπλαγέντα. Ἀμφότεροι γὰρ ἐπίσης λειποτάκται, ὁ μὲν ὑποτρέσας, ὁ δὲ ἀλλοιωθεὶς πρὸς τὸν φύσει συγγενῆ καὶ φίλον. Καὶ ἐν τῇ ἀμφιέσει δὲ τοῦ μοναχικοῦ σχήματος ἐρωτηθεὶς τό, εἰ δύνασαι ὑπομεῖναι πᾶσαν θλῖψιν καὶ στενοχωρίαν διὰ τὴν βασιλείαν τῶν οὐρανῶν, Θεοῦ ἐνώπιον καὶ ἀγγέλων ἐπηγγειλάμην τοῦθ' ὑπομεῖναι προθύμως ἄχρι τέλους ζωῆς, καὶ ἐγγύας ἀπαραγράπτους δέδωκα τῷ Κυρίῳ, ἃς ὑπεγράψαντο ἄγγελοι καὶ ἐν οὐρανοῖς φυλάττουσιν ἕως τῆς φοβερᾶς ἡμέρας τῆς κρίσεως. Πέπεισμαι, φίλτατοι, πέπεισμαι τὸ ἐξορισθῆναί με χάριν τῆς ἀληθείας τῆς πρὸς τὸν Ὕπατον, οὐκ ἀσυντελὲς πρὸς σωτηρίαν καὶ τῶν πολλῶν μου ἁμαρτιῶν ἄφεσιν. Ὁρᾶτε δὲ τὸν Ἰὼβ ἐν περιστάσεσιν ἀκουσίοις ἀνακηρυττόμενον καὶ τὸν ἐν τῇ παραβολῇ Λάζαρον τῆς ἀκουσίου πτωχείας τοὺς ἀβραμιαίους κόλπους ἀπολαμβάνοντα, καὶ τὸν πλούσιον τῇ κατὰ τὸν βίον τρυφῇ ἀντίρροπον τὴν ἐκεῖσε κληρούμενον κόλασιν καὶ μηδὲ δακτύλου δροσίζοντος εἰς παραμυθίαν τοῦ φλογμοῦ ἀξιούμενον. Καὶ τὸ αἴτιον, ὅτι σὺ μέν, φησίν, ἀπέλαβες τὰ ἀγαθά σου ἐν τῇ ζωῇ σου, καὶ Λάζαρος ὁμοίως τὰ κακά· νῦν δὲ οὗτος μὲν ὧδε παρακαλεῖται, σὺ δὲ ὀδυνᾶσαι. Οἱ γὰρ τὴν ἐνήδονον τούτῳ ζωὴν προελόμενοι τῶν ἐκεῖσε οὗτοι τερπνῶν ἀμεθεξίαν παντελῆ καταψηφισθήσονται. Ὅσοις δὲ συμφορῶν ὁ τῇδε βίος ὤφθη κλυδώνιον, καὶ θλίψεσι δειναῖς προσεπάλαισαν σὺν ὑπομονῇ καὶ εὐχαριστίᾳ, οὗτοι τῶν ἐντεῦθεν ἀπαίροντες εἰς τὸν ἄκλυστον ἐκεῖνον λιμένα τῆς ἀναπαύσεως προσορμίζονται, ὡς Εὐφραὶμ καὶ Ἰσαὰκ τοῖς Σύροις δοκεῖ. Τῷ μὲν οὕτω διδάσκοντι, ὅσοι βούλονται τελείως ἐξειλῆσαι (;) τῆς αἰωνίου γεένης τῆς τιμωρούσης τοὺς ἁμαρτωλοὺς καὶ τῆς αἰωνίου βασιλείας ἐπιτυχεῖν, τὰς θλίψεις τῆς γεέννης ἐντεῦθεν διὰ τῶν πειρασμῶν τῶν ὑπὸ τοῦ πονηροῦ ἐπαγομένων ὑπενέγκωσιν ἀεί, καὶ ἐὰν ὑπομείνωσιν ἕως τέλους τὸ ἔλεος τοῦ Θεοῦ ἀπεκδεχόμενοι ἐν πίστει καὶ τῶν πειρασμῶν καὶ τῶν θλίψεων διὰ τῆς χάριτος λυτροῦνται καὶ τῆς κοινωνίας τοῦ ἁγίου Πνεύματος ἐντεῦθεν καταξιοῦνται καὶ τῆς αἰωνίου γεέννης ἐκείνης ἐξειλοῦσι (;) καὶ τὴν αἰώνιον βασιλείαν τοῦ Κυρίου κληρονομοῦσι. Τῷ δὲ παραινοῦντι πάντα αὐτοῦ ὠφελεῖ ὁ πειρασμός. Ἐὰν γὰρ τὸν Παῦλον ὠφελῇ, πᾶν στόμα φραγήσεται καὶ ὑπόδικος γενέσθω πᾶς ὁ κόσμος τῷ Θεῷ. Οἱ ἀγωνισταὶ πειράζονται ἵνα προσθήσωσι τῷ πλούτῳ αὐτῶν, οἱ χαῦνοι ἵνα ἐκ τῶν βλαπτόντων φυλάξωνται ἑαυτούς· οἱ ὑπνώττοντες ἵνα εἰς ἐξυπνισμὸν ἐντρεπισθῶσι· καὶ οἱ μακρὰν ὄντες ἵνα προσεγγίσωσι τῷ Θεῷ, οἱ δὲ οἰκεῖοι ἵνα ἐν παρρησίᾳ εἰσοικισθῶσι. Καὶ πάλιν· πάσῃ ἀνέσει ἕπεται ταλαιπωρία, καὶ ὁ παιδευόμενος ἐνταῦθα διὰ τὴν ἰδίαν αἰσχύνην ἐκ τῆς ἰδίας γεένης ἐσθίει. Ταῦτα τούτοις καὶ ὁ χρυσῆ

γλῶττα φησί, βούλει ἄνεσιν εὑρεῖν ἐκεῖ; θλίβηθι ἐνταῦθα διὰ τὸν Χριστόν. Ἀλλ᾽ οὐκ ἔστι διωγμός; στῆθι πρὸς δόξαν, στῆθι πρὸς θυμοῦ μάχην, στῆθι πρὸς ἐπιθυμίας βάσκανον. Καὶ ταῦτα στίγματα, καὶ αὗται θλίψεις. Καὶ ἐὰν ἁμαρτίας ἔχῃς, ἀφανίζονται καὶ κατακαίονται ὑπὸ τῆς θλίψεως· ἐὰν δὲ ἀρετήν, λαμπρύνῃ καὶ φαιδρύνῃ ὑπ᾽ αὐτῆς· καὶ μὴ εἴπῃς ὅτι οὐδὲν ἠδίκησα. Τί γὰρ Παῦλος ἠδίκησεν, ἵνα λιθασθῇ; βασιλείαν κατήγγειλε, πλάνης ἀπῆγε, τῷ Θεῷ προσῆγε. Ταῦτα στεφάνων ἄξια, ταῦτα μυρίων ἀγαθῶν, οὐ λίθων, ἀλλ᾽ ὅμως τἀναντία ἔπασχεν. Ὥστε τὸ δυσπραγεῖν οὐκ ἀσυντελὲς καὶ πρὸς τὰς ἐκεῖθεν ἐλπίδας ἀνόνητον. Προνοίας οὖν ἐστι καὶ τοῦτο Θεοῦ καὶ τῆς πρὸς ἡμᾶς στοργῆς ἔνδειξις διὰ τῶν ἐνταῦθα θλίψεων τὴν ἐκεῖθεν ἡμῖν πραγματευομένου ἀνάπαυσιν. Ὅταν γὰρ ἴδῃ πρὸς τοὺς αὐθαιρέτους πόνους τῆς ἀρετῆς ὀλιγώρως ἔχοντας, ἢ καὶ πρὸς τὰ χείρω ἐπιρρεπῶς καὶ ἐπιμελῶς ἔχοντας διὰ τὴν μεταβολὴν συμφορῶν ἡμῖν καὶ θλίψεων τὸν βίον ἐμπίμπλησι, τιμωρίᾳ προσκαίρῳ κολάσεως ἐξαρπάζων τῆς αἰωνίου. Καὶ τί θαυμαστόν; εἰ τοὺς ἁμαρτάνοντας ἡμᾶς φιλανθρώπως ὁ Θεὸς οὕτω μέτεισιν, ὅπου καὶ τοὺς εἰλικρινῶς αὐτῷ καὶ γνησίως δουλεύοντας, καὶ οἷς ὁ βίος ἀκίβδηλος τῷ χωνευτηρίῳ δοκιμάζει τῶν πειρασμῶν, ἵνα τὸ τῶν ἀρετῶν ἀποστίλβον λαμπρότερον ἐν τούτοις ἀναφανῇ; Ἐπύρωσε γάρ φησιν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ, ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς, καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι. Καὶ χάρις τῷ πολυτρόπως ἡμῖν πραγματευομένῳ τὴν σωτηρίαν. Οὐ τοίνυν ἄμοιρον μισθοῦ κἂν ἁπλῶς καὶ ἀκούσιον ἦν ἐμοὶ τῷ διωχθῆναι ὑπὲρ ὧν καὶ τὴν ψυχήν μου ἔθηκα. Ὅτι δὲ ὑπὲρ τῶν τοῦ Θεοῦ νόμων (ἐδιώχθην) δῆλον ὅτι πᾶσαν σιμωνίαν καὶ παρανομίαν τῶν διωξάντων με Νικομηδείας καὶ τοῦ γέροντος αὐτοῦ διήλεγχον καὶ ὡς πολλάκις προὔλεγον, ὅτι κἂν δέῃ με λιθοβοληθῆναι, τἀληθὲς οὐ σιγήσω. Πῶς οὐκ εἰς λόγον ἀρετῆς ἀποκείσεταί μου τοῦτο παρὰ Θεῷ; Εἰ γὰρ παρὰ ἀνθρώπων ἀδικούμεθα καὶ ἐν τοῖς σωματικοῖς δυσπραγοῦμεν, ἀλλ᾽ ἐν οἷς ἡ πρὸς τὸν Θεὸν ἡμῖν οἰκείωσις τῶν εἰς σωτηρίαν φερόντων οὐχ ὑστερούμεθα. Καὶ τὸ ὑπὲρ τῆς ἀληθείας ἐνσυνειδήτως πάσχειν μέγα καθίσταται εἰς ψυχαγωγίαν ἡμῖν. Καὶ οὐδὲν ἡδύτερον τούτου οἶμαι χριστιανικῇ ψυχῇ γένοιτ᾽ ἄν. Ὅτι ταὐτὸν ὑπὲρ τοῦ ὀνόματος τοῦ Χριστοῦ καὶ ὑπὲρ τῆς τοῦ νόμου αὐτοῦ ἐκδικήσεως παθεῖν τι καὶ οὐκ ἄλλο παρ᾽ ἔμοιγε καὶ πᾶσι τοῖς φιλοχρίστοις καὶ κρίνεται καὶ ἐστίν, ὡς καὶ ὁ λόγος ἀπέδειξε. Καὶ οἱ ἅγιοι λέγουσιν, ὅτι οὐ μόνον οἱ διὰ τὴν εἰς Χριστὸν πίστιν δεξάμενοι τὸν θάνατον μάρτυρές εἰσιν, ἀλλὰ καὶ οἱ διὰ τὴν τῶν ἐντολῶν αὐτοῦ τήρησιν ἀποθνήσκοντες. Καὶ ταῦτα λέγω οὐκ ἐμαυτοῦ ἐπαίνους διεξιών, οὔτε μὴν ἐνίων καταπαιρόμενος, ἀλλ᾽ ἵνα γνόντες ἐκ

τούτων ὡς οὐδὲν δεινὸν εἰργάσαντο οἱ διώξαντες ἡμᾶς, μηκέτι λυπῆσθε περὶ ἡμῶν. Οὐδὲ γὰρ στεφανουμένου τινὸς οἱ τούτῳ προσήκοντες ἀθυμοῦσιν, οὐδ᾽ ἀπολαμβάνοντες ἀγαθὸν δυσχεραίνουσιν· ὡς οὐδὲ σωζομένου θλίβεσθαι, δίκαιοι εἶεν ἄν. Ὅτι πολλαὶ αἱ θλίψεις τοῦ δικαίου καὶ ἐκ πασῶν αὐτῶν ῥύεται αὐτοὺς ὁ Κύριος· καὶ Κύριε, ἐν θλίψει ἐμνήσθημέν σου, ἐν θλίψει μικρᾷ ἡ παιδεία σου ἡμῖν, κατὰ τὰς προφητικὰς φωνάς. Καὶ πάντες οἱ θέλοντες ζῆν εὐσεβῶς ἐν Χριστῷ Ἰησοῦ διωχθήσονται πανταχοῦ καὶ διὰ πολλῶν θλίψεων δεῖ ἡμᾶς εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ κατὰ τοὺς τοῦ Παύλου λόγους. Καὶ μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης, καὶ εἰ ἐμὲ ἐδίωξαν καὶ ὑμᾶς διώξουσι· καὶ ὅταν διώκωσιν ὑμᾶς ἐκ τῆς πόλεως ταύτης φεύγετε εἰς τὴν ἄλλην, εἰσηγήθη Χριστός.

Ἔγνωτε πόσων ἀγαθῶν αἴτιόν μοι γέγονε τὸ διωχθῆναι; καὶ τίσι συναριθμεῖσθαι πεποίηκε καὶ ἐπὶ ποίαις ἐλπίσι βιοῦν; Ὥστε καθὰ καὶ προεῖπον πᾶς ὁ βουλόμενος ἀγαθόν τι πρᾶξαι ἐν τῷ δε τῷ βίῳ, πρὸς τὸ μέγεθος τούτου ὀφείλει ἐκδέχεσθαι καὶ πειρασμὸν ἐπερχόμενον. Καὶ πᾶν μέγα κατόρθωμα πολλοῖς γε καὶ ποικίλοις συνέζευκται πειρασμοῖς. Καὶ μαρτυροῦσι βασιλεῖς καὶ στρατηγοί, καὶ γεωργοὶ καὶ ἔμποροι μετὰ μυρίους κατορθοῦντες πειρασμοὺς τοῖθ᾽ ὅπερ λέγουσι, μάλιστα δὲ πάντων τόδε συνίστησιν ὁ φύσει διδάσκαλος Ἰησοῦς Χριστός, ὃς μετὰ τὸ πᾶσαν πληρῶσαι δικαιοσύνην τεσσαράκοντα ἡμέρας, καὶ νύκτας τόσας πειραζόμενος, ἅπαντα πειρασμὸν ἐν τῇ ἐρήμῳ ὑπέμεινεν, ἡμῖν ὑπολιμπάνων ὑπογραμμόν, ὡς προείρηται. Οὐδὲν οὖν ξένον, οὐδὲ νεώτερον γέγονεν ἐπ᾽ ἐμοί, ἀλλὰ τὸ σύνηθες καὶ ὃ τῶν γινομένων ἡ φύσις ἀπαραβάτως γίνεσθαι ἀπαιτεῖ. Πατρὶ γὰρ υἱὸς ἐπανίσταται καὶ μαθητὴς διδασκάλῳ ἐπιβουλεύει, ὡς καὶ Ἰούδας Χριστῷ, καὶ ὁ δημώδης δὲ λόγος συνᾴδει, ὡς ᾧ τινι ποιήσεις καλόν, κακὸν ἔκδεξαι παρ᾽ αὐτοῦ εἰς ἀντάμειψιν. Εἰ γὰρ οὐδὲν ἄλλο ἁμάρτημα ἐν οὐρανῷ γέγονεν, εἰ μὴ φθόνος καὶ ἐν παραδείσῳ φθόνος καὶ ἀεὶ ἐπὶ τὰ καλὰ φθόνος, πῶς καμοὶ μόνῳ σπεύδοντι μιμήσασθαι τοὺς καλούς, ἢ τὰ καλὰ κτήσασθαι, τὸν φθόνον οἷόν τε ἦν διαδράναι; Εἰ δὲ καὶ ὁ Κάϊν τὸν Ἄβελ ἐφόνευσε, καὶ τῷ Ἰακὼβ Ἠσαῦ συνεκότει καὶ τὸν πάγκαλον οἱ ἀδελφοὶ ἀπέδοντο, καὶ ἀοιδὸς ἀοιδῷ φθονεῖ καὶ τέκτονα τέκτων ζηλοτυπεῖ, καινὸν οὐδέν, εἰ κἀμὲ τὸ χαλεπὸν θηρίον, ὁ φθόνος, τῆς Κωνσταντίνου ἐξέβαλε. Μᾶλλον δέ, τοὐναντίον ἅπαν εἴπερ συνέβη παράδοξον ἦν, φημὶ δὴ τὸ μὴ διωχθῆναί με πρὸς τοῦ φθόνου, καὶ ταῦτα τοὺς τῆς Κωνσταντινουπόλεως οἴακας ἰθύνοντα. Ὁ γε μὴν θέλων εἶναι καλός, ἢ κτᾶσθαί τι τῶν καλῶν καὶ τιμίων, ἄνευ δὲ ζήλου τῶν ἐκτὸς ἔχειν τοῦτο βουλόμενος, ὅμοιός ἐστιν ἀνθρώπῳ πλοῦτον καὶ κάλλος, ἰσχὺν καὶ φρόνησιν ἔχειν ἐφιεμένῳ, μηδὲν δὲ περίβλεπτον ἑαυτὸν διὰ

ταῦτα μηδὲ ζηλωτὸν εἶναι θέλοντι. Τοῦτο δέ, τῶν οὐκ ἐνδεχομένων ἐστίν. Ὥσπερ γὰρ τῷ σώματι ἕπεται ἡ σκιὰ δι' ἀκτῖνος βαδίζοντι, οὕτω τοῖς διὰ δόξης πορευομένοις φθόνος ἀδιαστάτως ἀκολουθεῖ. Πλὴν οὐκ ἐξορίαν ὑπέστην μόνον, ἀλλὰ σὺν ταύτης καὶ περιφρονήσεις, καὶ φρουράν, καὶ κινδύνους θαλάσσης, ποταμοῦ καὶ γῆς καὶ πρὸς τούτοις ἄμετρον κακουχίαν, καὶ ἀπογύμνωσιν, καὶ θανάτους μυρίους καὶ ἀλλεπαλλήλους, ἃ τῇ τοῦ Χριστοῦ χάριτι πάντα μετὰ χαρᾶς καὶ προθυμίας εὐχαρίστως ὑπέμεινα, οὐδένα λοιδορήσας, οὐδὲ γογγύσας πρὸς τὸ συμβάν, οὐδενὸς καταυξάμενος. Ὅθεν ἐλπίζομεν ἐν τάχει γενέσθαι ἡμῶν τὴν ἐπάνοδον, ἡ φρουρὰ ἵνα ἀντιστραφῇ εἰς πλατυσμόν, αἱ ὕβρεις εἰς δόξαν καταλήξωσιν, τὸ ναυάγιον εἰς ἀκύμαντον λιμένα μεταποιηθῇ, ἡ κακουχία εἰς ἀνάπαυσιν μεταβληθῇ· εἰς πλουτισμὸν ἡ ἀπογύμνωσις μεταπέσῃ καὶ εἰς ζωὴν ὁ θάνατος μεταλλαγῇ. Καὶ διὰ ταῦτα λοιπὸν πάντες οἱ διὰ Θεὸν ἀγαπῶντές με ὑπὲρ ἐμοῦ καὶ εὐφράνθητε, καὶ ἀγάλλεσθε· ἄλλως τε δὲ ἐπ' ἐμοὶ δίκαιοι ἂν εἴητε χαίρειν, τοῦτο μὲν ἐκ τῶν πυλῶν τοῦ ᾅδου δὶς καὶ τρὶς ῥυσθείς, τὸν αὐτὸν πάλιν ὑμῖν ἐξ ὑπαρχῆς πνέω ἀέρα καὶ τὸν αὐτὸν βλέπω ἥλιον, τοῦτο δὲ ὅτι ἐξ ἀδιαφορίας εἰς τὸ τῆς θείας σοφίας διδασκαλεῖον ὑπέστρεψα, ἀπὸ πολιτικῶν κυμάτων καὶ ταραχῶν εἰς ὅρμον προσωρμίσθην ἀκύμαντον. Ἀλλ' ἴσως ὅτι τῶν τῆς πόλεως καλῶν ἀπεστέρημαι, καὶ μάλιστα τῶν φίλων, ἐλεοῦντές με τῆς τοσαύτης ζημίας οὐκ ἀπεικότως λυπεῖσθαι φαίητ' ἄν. Ἐγὼ δὲ χαίρω ἐπιεικῶς, καὶ συμβουλεύω ὑμῖν μηκέτι λυπεῖσθαι. Οἶδα τοὺς ὀδυρμοὺς ὑμῶν, καὶ τοὺς ὀχετοὺς τῶν δακρύων οὕτως ἐπίσταμαι, ὡς ἂν εἰ συμπαρήμην ἑκάστῳ ὑμῶν. Ἀλλ' ἄχρι τούτου, μὴ παρατέρω· ἐπὶ ταῖς ἁμαρτίαις ὑμῶν μὴ ἐπ' ἐμὲ κλαίετε· εἰ δὲ διὰ τὴν ἐκ τοῦ λόγου προσγινομένην ὠφέλειαν καὶ τὴν ἐμὴν στέρησιν λυπεῖσθαι λέγετε, περὶ μὲν τῆς ὑμῶν ὠφελείας ἴστε, ὡς οἱ ἀδίκως με διώξαντες πάντως τὸ κρίμα βαστάσουσι καὶ περὶ τῶν τραυματισθεισῶν καρδιῶν καὶ ψυχῶν οὗτοι ἀπολογήσονται. Καὶ ἀληθῶς γε μείζω ταύτης ἁμαρτίαν μὴ γεγενῆσθαι. Ὡς καλὸν εἶναι τούτοις ἀθρόως διαστῆναι τὴν γῆν καὶ ζῶντας καταπιεῖν αὐτοὺς πρὸ τοῦ καταχθῆναι εἰς ᾅδου· ἡ δίκη τοιαύτη περιπεσεῖν ὑπέρ τε τοῦ σκανδάλου τῶν τοιούτων ψυχῶν καὶ τῆς ἀπωλείας, ὑπέρ τε τοῦ προσκόμματος καὶ τῆς τῶν πολλῶν εἰσέπειτα ὠφελείας. Ὡς ἔμοιγε πικρῶς ἀποδύρεσθαι τούτους πολλάκις ἐπέρχεται, ὃ δὴ καὶ ποιῶ, λέγων ἐξ ὅλης ψυχῆς τῷ Χριστῷ μου· Κύριε, μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην. Περὶ μὲν τοῦ τῇ διδασκαλίᾳ ἐσομένου κέρδους, καὶ τοῦ τραυματισμοῦ τῶν ἀπείρων ψυχῶν αὐτοῖς μελήσει ὥσπερ εἰκός· περὶ δὲ στερήσεως ἁπλῶς τῆς ἐμῆς, ἐκεῖνο παρ' ὑμῖν ἀνεξάλειπτον ἔχετε· ὅτι κἂν μηδέποτε ἡ ἐξουσία, ἀλλ' ἡ τελευτὴ ὁδὸν οὔπω [illegible] τοῦτ' αὐτὸ πεποίηκε, τὸν χωρι-

-σμὸν καὶ τὴν στέρησιν πάντως. Κἀνταῦθα μὲν ἔστιν εὑρεῖν ἐλπίδα ὑποσαίνουσαν τὴν ἐπάνοδον, ἐκεῖ δ' οὐδαμῶς. Ἄλλως τε εἰ καὶ διέστην ὑμῶν τῷ σώματι καὶ τῷ τόπῳ, τῷ γε μὴν πνεύματι καὶ τῷ τρόπῳ ἀχώριστός ὑμῖν ἐγώ, καὶ ἑνὸς ἑκάστου ἰδίᾳ, καὶ πάντων αὖθις ὁμοῦ καὶ τῆς φωνῆς τοῦ λόγου, καὶ τῆς θέας αὐτῆς, τῶν ἰδίων ἠθῶν καὶ τῆς κοινῆς συνηθείας καὶ ὧν εἴ τέ τις ἢ ἔπραξέ που ἀγαθὸν εἰς ἐμέ, οὐδαμῶς ἐπιλέλησμαι. Ἀλλὰ καὶ παρακλήσεις ὑπὲρ τῆς ὑγείας ὑμῶν καὶ εὐτυχίας γίνεσθαι ἐν τῇ μονῇ ᾗ παροικοῦμεν ἔργον ἐμοὶ καὶ τὸ πρὸς ὑμᾶς φίλτρον, θερμότερον τοῦ ποτέ, καὶ ἐξ ὅλης ψυχῆς πᾶν ἀγαθὸν ἡμῖν ἐπεύχομαι καὶ σωτήριον, ὡς καὶ τὰ μετὰ χεῖρας ταῦτα παρίστησι γράμματα, ἐκ διαπύρου στοργῆς καὶ θερμοτάτης ἀγάπης πᾶσιν ὑμῖν κοινῇ γράψας ἀπέστειλα. Εἰ οὖν ἄρα καὶ ὑμεῖς μέμνησθέ μου τῆς ἀδόλου ἀγάπης, καὶ ἀληθοῦς, εἰ θέλετε ἐν μιᾷ σκηνῇ ἀναπαύσεως εἰς τὸν αἰῶνα ἐκεῖνον τοῖς ὀρθοδόξοις συνῆναι, φυλάξατέ μοι τὴν παρακαταθήκην ἀκέραιον, ἣν παρεθέμην ὑμῖν. Θέσθε δὲ καὶ τὰς καρδίας ὑμῶν εἰς τοῦτο, καὶ ἅτε πράγματος ἀναγκαιοτάτου φρικτοῦ καὶ ἀπαραιτήτου μὴ ἐπιλάθησθε· ἀλλὰ μέμνησθε, ὅτι ὥσπερ ἐμὲ τῆς πόλεως καὶ ὑμῶν ὁ φθόνος διέστησεν, οὕτω καὶ ὑμᾶς ἅπαντας μετ' ὀλίγον ὁ θάνατος ἐπελθὼν παντὸς τοῦ τοῦδε κόσμου καὶ ἄκοντας μεταστήσει. Καὶ ἵνα μὴ μετὰ θάνατον εἰς ᾅδου, ὅπερ ἀπεύχομαι, καὶ μετὰ κρίσιν ἐξορισθῇ τις ὑμῶν εἰς τὴν γέενναν, ἥ δὴ καὶ ἐξοριῶν ἐστιν ἡ φρικωδεστάτη καὶ βαρυτάτη, ἀπάρτι πάντες ἕως καιρὸν ἔχετε πρὸς τὴν ἔξοδον ἑτοιμάζεσθε, μᾶλλον δὲ πρὸς τὴν μέλλουσαν δίκην τὴν φοβεράν. Δεῖ γὰρ ἅπαντας ὑμᾶς φανερωθῆναι ἔμπροσθεν τοῦ βήματος τοῦ Χριστοῦ· καὶ ἑκάστου τὸ ἔργον ὁποῖόν ἐστι τὸ πῦρ δοκιμάσει. Τότε ὑμᾶς ἐκεῖ ὄψομαι· τότε γνώσεσθε καὶ ὑμεῖς τὰ κατ' ἐμὲ διαυγέστατα, ὅτι πρόσωπον πρὸς πρόσωπον ἀλλήλους ἐνορῶμεν καὶ καταμανθάνομεν τὰ πρώην κεκρυμμένα. Παρασκευάζεσθε γοῦν ὡς ἤδη παρήγγειλα, ἵνα καὶ ζῶντες ἐνταῦθα καὶ μεταστάντες ἐντεῦθεν καὶ ἀναστάντες ἐν κρίσει ὦμεν ἀχώριστοι τοῦ Θεοῦ. Ἵστασθε στερροὶ ἐν τῇ πίστει, ἐν τῇ ἀγάπῃ, φοβεῖσθε τὸν Κύριον, τῆς ἐλεημοσύνης ἐπιμελεῖσθε ἔργῳ, ἀλλήλους εἰς ἀγαθὸν ἀγαπᾶτε μνημονεύοντες κἀμοῦ ἐν ταῖς προσευχαῖς ὑμῶν καὶ ὁμιλίαις.

Περὶ τοῦ τόπου, οὗ ἕνεκεν παρακαλοῦμεν μὴ ἄλλως ποιήσητε. Εἰ μὲν γὰρ βούλονται δοῦναι ἡμῖν τὴν χάριν κυρίους ἡμᾶς ποιοῖεν τοῦ εἶναι ὅπου βουλόμεθα, δεχθῆτε τὴν χάριν· εἰ δὲ μέλλοιεν ἐντεῦθεν ἡμᾶς ἀναστάντες εἰς ἕτερον πέμπειν τόπον, καὶ πάλιν ὁδός, καὶ πάλιν ἀποδημίαι μηδόλως καταδεχθῆτε. Ὑμεῖς γὰρ οἴδατε ὅτι πλησίον που αὐτόθι ἐν παραθαλασσίῳ πόλει ἢ ἐν Κυζίκῳ, ἢ Προικοννήσῳ, ἢ Νικομηδείας καὶ Χαλκηδόνος πλησίον, ἢ ἐν τῷ ὄρει τοῦ Ἄθωνος ἐπιθυμοῦμεν. Εἰ δ' ἄρα μακρότερόν που ἢ ἐν μεσογείῳ πόλει

μὴ ἔσεσθε. Παρακαλοῦμεν δὲ συνεχῶς ἡμῖν δηλοῦν τὰ περὶ τῆς ὑγείας ὑμῶν, καὶ τῶν ἀγαπώντων ἡμᾶς· ἡμῶν δὲ ἕνεκεν ἀφρόντιδες ἔσεσθε· καὶ γὰρ ἐν ὑγείᾳ ἐσμὲν τὰ νῦν, καὶ εὐθυμίᾳ καὶ πολλῆς ἀπολαύομεν τῆς ἡσυχίας. Ἐπιθυμοῦμεν δὲ μαθεῖν περὶ τῶν ἀνθρώπων ἡμῶν, εἰ ἀφέθησαν, καὶ ἀδελφῶν, διότι οὐδεὶς ἡμῖν οὐδὲν σαφὲς ἀπήγγειλε. Ὑγιαίνοιτε ἐν Πνεύματι, ἔρρωσθε ἐν Χριστῷ. Μνησθείη τῆς ἀγάπης ὑμῶν ὁ Θεός.

Ἐν Ζαγορᾷ Γ. ΔΗΛΙΓΙΑΝΝΗΣ